καὶ δι' ὃ ἀνεζητήθη καὶ εὑρέθη τὰ κωλύοντα καὶ ζημιοῦντα· οἷον, ἐν Ἄργει ζημιοῦσι, δι' ὃν ἂν νόμος τεθῇ, καὶ δι' οὓς τὸ δεσμωτήριον ᾠκοδομήθη. καὶ τὸ θηριωδέστερον ἀδίκημα, μεῖζον. καὶ τὸ ἐκ προνοίας, μᾶλλον. καὶ ὃ οἱ ἀκούοντες φοβοῦνται μᾶλλον ἢ ἐλεοῦσι. καὶ τὰ μὲν ῥητορικά ἐστι τοιαῦτα, ὅτι πολλὰ ἀνῄρηκε δίκαια, ἢ ὑπερβέβηκεν· οἷον, ὅρκους, δεξιάς, πίστεις, ἐπιγαμίας· πολλῶν γὰρ ἀδικημάτων ὑπεροχή. καὶ τὸ ἐνταῦθα, οὗ κολάζονται οἱ ἀδικοῦντες· ὅπερ ποιοῦσιν οἱ ψευδομάρτυρες· ποῦ γὰρ οὐκ ἂν ἀδικήσειεν, εἴ γε καὶ ἐν τῷ δικαστηρίῳ. καὶ ἐφ' οἷς αἰσχύνη μάλιστα. καὶ εἰ τοῦτον ὑφ' οὗ εὖ πέπονθε· πλείω γὰρ ἀδικεῖ, ὅτι τε κακῶς ποιεῖ, καὶ ὅτι οὐκ εὖ. καὶ ὃ παρὰ τὰ ἄγραφα δίκαια· ἀμείνονος γὰρ, μὴ δι' ἀνάγκην δίκαιον εἶναι. τὰ μὲν οὖν γεγραμμένα, ἐξ ἀνάγκης· τὰ δὲ ἄγραφα οὔ. ἄλλον δὲ τρόπον, εἰ παρὰ τὰ γεγραμμένα· ὁ γὰρ τὰ φοβερὰ ἀδικῶν, καὶ τὰ ἐπιζήμια, καὶ τὰ μὴ ἐπιζήμια, ἀδικήσειεν ἄν. περὶ μὲν οὖν ἀδικήματος μείζονος, καὶ ἐλάττονος, εἴρηται.

Κεφάλαιον ιε.

Περὶ δὲ τῶν ἀτέχνων καλουμένων πίστεων, ἐχόμενόν ἐστι τῶν εἰρημένων ἐπιδραμεῖν· ἴδιαι γὰρ αὗται τῶν δικανικῶν. εἰσὶ δὲ πέντε τὸν ἀριθμὸν, νόμοι, μάρτυρες, συνθῆκαι, βάσανοι, ὅρκος· πρῶτον μὲν οὖν εἴπωμεν περὶ νόμων, πῶς χρηστέον καὶ προτρέποντα καὶ ἀποτρέποντα, καὶ κατηγοροῦντα καὶ ἀπολογούμενον· φανερὸν γὰρ, ὅτι, ἐὰν μὲν ἐναντίος ᾖ ὁ γεγραμμένος τῷ πράγματι, τῷ κοινῷ νόμῳ χρηστέον, καὶ τοῖς ἐπιεικέσιν, ὡς δικαιοτέροις. καὶ ὅτι τῇ γνώμῃ τῇ ἀρίστῃ τοῦτ' ἐστι, τὸ μὴ πάντως χρῆσθαι τοῖς γεγραμμένοις. καὶ ὅτι, τὸ μὲν ἐπιεικὲς ἀεὶ μένει, καὶ οὐδέποτε μεταβάλλει, οὐδ' ὁ κοινός· κατὰ φύσιν γάρ ἐστιν· οἱ δὲ γεγραμμένοι, πολλάκις· ὅθεν εἴρηται ἐν τῇ τοῦ Σοφοκλέους Ἀντιγόνῃ· ἀπολογεῖται γὰρ, ὅτι ἔπραξε παρὰ τὸν τοῦ Κρέοντος νόμον, ἀλλ' οὐ παρὰ τὸν ἄγραφον·

Οὐ γάρ τι νῦν γε κἀχθὲς, ἀλλ' ἀεί ποτε·
Τούτων ἐγὼ οὐκ ἔμελον ἀνδρὸς οὐδενός.

καὶ ὅτι τὸ δίκαιόν ἐστιν ἀληθές τι καὶ συμφέρον, ἀλλ' οὐ τὸ δοκοῦν· ὥστ' οὐ νόμος, ὁ γεγραμμένος· οὐ γὰρ ποιεῖ τὸ ἔργον τὸ τοῦ νόμου. καὶ ὅτι ὥσπερ ἀργυρογνώμων ὁ κριτής ἐστιν, ὅπως διακρίνῃ τὸ κίβδηλον δίκαιον, καὶ τὸ ἀληθές. καὶ ὅτι βελτίονος ἀνδρὸς τὸ τοῖς ἀγράφοις ἢ τοῖς γεγραμμένοις χρῆσθαι, καὶ ἐμμένειν

A Et propter quam quæsita sunt, & inuentaque prohibent, & quæ puniunt, vt Argis puniunt, propter quem lex lata est, & propter quos carcer ædificatus est. Et magis ferina iniuria maior. Et quæ ex prouisione magis. Et quam audientes timent magis, quàm miserantur. Ac oratoria quidem sunt ea, quòd multa sustulit iura, aut transgressus est, vt iusiurandum, dexteram, fidem, connubium. Multarum enim iniuriarum exuperantia est. Et quam fecit ibi, B vbi castigantur, qui iniuriam faciunt. quod faciunt falsi testes. vbi enim non erit iniuriosus, si etiam in foro? Et in quibus est pudor maximè. Et si eum iniuria afficiat, à quo beneficio affectus est. Plures enim iniurias facit, tum quòd malè faciat, tum quòd non benè faciat. Et quæ est contra non scripta iura. melioris enim est, non propter necessitatem iustum esse. Ac scripta quidem, sunt ex necessitate, non scripta verò nequaquam. Alio autem mo- C do si cõtra scripta. Nam qui in metuendis iniuriam facit, & in pœnæ obnoxiis, etiam in non obnoxiis iniuriam faciet. Ac de iniuria quidem maiore, & minore dictum est.

CAPVT XV.

Fidem verò, quæ dicitur arte carens, consequens est iis, quæ dicta sunt, vt percurramus: quia propria ipsa sit iudicialium. éstque quintuplex, leges, testes, D pacta, quæstiones, iusiurãdum. Ac primùm quidem dicamus de legibus, quomodo ipsis vtendum sit, tum ei qui suadet, tum qui dissuadet, tum qui accusat, tum qui defendit. Apparet enim si contraria sit facto lex scripta, communi lege vtendum, & æquis, tanquam iustioribus. Et quòd mente optima vti est, non omnino vti scriptis. Et quòd æquum semper manet, & nunquam mutatur, neque communis lex. Se- E cundum naturam enim est: scriptæ verò leges sæpe. Vnde dictum est in Sophoclis Antigone, cùm illa defendit se egisse contra Creontis legem, sed non contra non scriptam. Non enim hoc nunc, & heri, sed semper. Ideo ego non timeo virum vllum. Et quod iustum est verum quiddam, & vtile, sed non quod videtur. Quare non est lex quæ scripta est: non enim obit F munus legis. Et quòd tanquam argentarius iudex est, vt discernat adulterinum iustum à vero. Et quòd melioris viri est, non scriptis, quàm scriptis vti, & stare.